будто жена чтеца называется **четчаꙗ**; жена чтеца, какъ указано, называется **чтьцаꙗ**, а жены діаконовъ и священниковъ — **дьячиꙗ** и **поповъꙗ**. Однако для меня, съ моей точки зрѣнія, важна не филологическая, а каноническая сторона памятника. Стоя на этой точкѣ зрѣнія, я отчасти позволю себѣ даже выразить удивленіе по поводу того, что уставъ румянц. кормч. до сихъ поръ не появлялся въ печати, хотя издано уже не мало матеріала, изображающаго историческое развитіе покаянно-исповѣднаго устава на востокѣ, и часто такого матеріала, который, по своей цѣнности, не можетъ идти и въ сравненіе съ уставомъ, содержащимся въ румянц. кормч. № 230.

Приложеніе № 1.

(Л. 209). Διδασκαλία πατέρων περὶ τῶν ὀφειλόντων ἐξαγγεῖλαι τὰ ἴδια ἁμαρτήματα καὶ περὶ Βασιλείου τοῦ τέκνου τῆς ὑπακοῆς [1]).

Δεῖ τὸν δεχόμενον τὴν ἐξομολόγησιν μὴ εἰς ὄγκον, μηδὲ εἰς πλῆθος βλέπειν ἁμαρτημάτων, μηδὲ εἰ ὑπὲρ φύσιν ἢ παρὰ φύσιν εἰσὶ τὰ ἁμαρτήματα, ἀλλ' εἰς μόνην ἀφορᾶν τὴν τοῦ Θεοῦ εὐσπλαγχνίαν καὶ πᾶσαν ἱλαρότητα καὶ χρηστολογίαν ἔχειν τότε πρὸς τὸν ἐξομολογούμενον· καὶ τὸν ἐξομολογούμενον δὲ πεπεισμένον εἶναι, ὅτι ὥσπερ ὁ νιπτὴρ τὸν ῥύπον ἀναδέχεται τοῦ νιπτομένου, οὕτως καὶ τὸν ἀνάδοχον χρὴ σαφῶς εἰδέναι ὅτι παρομοίως εἰς τὴν ἐξομολόγησιν τὰ τοῦ ἐξαγορεύοντος βαστάζει βάρη.

Περὶ τοῦ πῶς δεῖ ἐξομολογεῖσθαι.

Λαμβάνειν χρὴ τὸν ἐξομολογούμενον ὁ τοῦτον καὶ τὰ τούτου ἀναδεχόμενος ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου καὶ ἱστᾶν αὐτὸν ἐκεῖ· εἰ δὲ μή ἐστιν ἐκκλησία, εἰς καθαρὸν ἦγουν ἥσυχον καὶ ἀνακεχωρημένον τόπον· καὶ συνεύχεσθαι μετ' αὐτοῦ τὸν ν′ ψαλμὸν καὶ τὸν ξθ′, εἶθ' οὕτως τὸ τρισάγιον, Κύριε ἐλέησον μ′, καὶ μετανοίας μ′· καὶ μετὰ τὴν συμπλήρωσιν τῆς εὐχῆς ταύτης ἀποσκεπάζειν αὐτοῦ τὴν κεφαλήν, εἰ ἔχει εἶναι ὁ τὸ διάδημα φορῶν, εἰ ἔστιν ἀνήρ· εἰ δὲ γυνή, (οὔ)· εἰ δέ ἐστι ἀββᾶς, ἐπάνω τῆς κεφα-

1) Заголовки и прописныя буквы писаны въ подлинникѣ киноварью. Въ скобкахъ я помѣщаю варіанты по Морину тамъ, гдѣ мориновское чтеніе болѣе правильно.

λῆς αὐτοῦ τὸ ἑαυτοῦ βάλλειν κουκούλλιον, καὶ ῥίπτειν αὐτὸν ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου, καὶ ποιεῖν αὐτὸν κείμενον κάτω λέγειν τὸν λόγον τοῦτον. Ἐξομολογοῦμαί σοι Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς πάντα ἐν τῷ κρυπτῷ τῆς καρδίας μου. Καὶ μετὰ τὸ εἰπεῖν τὸν λογον τοῦτον, ἀνιστᾶν αὐτὸν καὶ ἱστᾶν ἐν μέρει τῆς εἰσόδου τοῦ θυσιαστηρίου, καὶ πλησίον ἱστᾶν αὐτόν, εἰ τὸ ἕτερον καὶ ἕτερον τῶν αὐτῶν ἐν πάσῃ ἱλαρότητι, εἰ δυνατον καὶ καταφιλεῖν αὐτὸν καὶ τὰς χεῖρας τοῦ ἐξομολογουμένου ἐπὶ τον ἰδιον ἐπιτεθῆναι χεῖρα (αὐχένα), μάλιστα ἐὰν ὁρᾷ αὐτὸν κάτω ὑπὸ τῆς ἀρρήτου λύπης καὶ αἰσχύνης κυριευόμενον καὶ καταπονούμενον.

Καὶ ἐπερωτᾶν αὐτὸν πραειᾳ καὶ ἱλαρᾷ τῇ φωνῇ· Πῶς σου κύριε ἀδελφὲ ἢ τέκνον ἢ κυρία ἢ ἀδελφὴ ἐν πρώτοις ἐφθάρη ἡ παρθενία; διὰ πορνείας, διὰ νομίμου γυναικός, διὰ μαλακίας ἤ τινος τῶν παρὰ φύσιν; Καὶ ὁταν εἴπῃ οὑτως ἢ οὑτως, ἐρωτᾶν αὐτόν· εἰς πόσας ἔπεσας γυναῖκας πρὸ τοῦ λαβεῖν γυναῖκα; καὶ εἰ ἄρα ἐχήρευσεν, ἢ μετὰ τὸ χηρεῦσαι, καὶ πόσαι ἦσαν ἐξ αὐτῶν δοῦλαι καὶ πόσαι χῆραι καὶ ποσαι ὕπανδροι, καὶ εἰ ἄρα μονάστριαι ἢ καὶ μεγαλόσχημοι καὶ πόσαι. αἱ γὰρ μικρόσχημοι ὡς πόρναι κρίνονται, αἱ δὲ μεγαλόσχημοι ὡς ὕπανδροι· καὶ εἰ ἄρα πόρναι καὶ πόσαι, καὶ εἰ ἄρα παρθένοι καὶ πόσαι.

Ταῦτα ἐν πρώτοις χρὴ τὸν τὰς ἐξομολογήσεις ἀναδεχομενον ἐρωτᾶν τὸν ἐξομολογούμενον καὶ τὸ ὅλον εἰς πόσας ὁμοῦ περιέπεσεν· ὁ γὰρ ἀριθμὸς ὑπὲρ πάντα ζητεῖται καὶ ἡ διαφορὰ τῶν προσώπων. εἰσὶ γὰρ διάφοροι· δοῦλαι, πόρναι, χῆραι, ὕπανδροι, μονάστριαι, ἱερωμέναι ἤγουν διακόνισσαι καὶ πρεσβυτέρισσαι. Καὶ ὅταν ταῦτα αὐτὸν ἐρωτήσῃ, ἐρωτᾶν αὐτὸν καὶ περὶ ἀρρενοκοιτίας. Ἔχει δὲ ἡ ἀρρενοκοιτία διαφορὰς τρεῖς· ἄλλο τὸ παθεῖν παρ' ἄλλου, ὃ καὶ κουφότερον· καὶ ἄλλο τὸ ποιῆσαι, ὃ καὶ βαρύτερον· τὸ δὲ τρίτον ἐστὶ τὸ καὶ παθεῖν παρ' ἑτέρου καὶ ποιῆσαι εἰς ἕτερον, ὃ καὶ τῶν ἄλλων δύο βαρύτερον. Καὶ ὅταν αὐτὸν ερωτήσῃ καὶ εἴπῃ ἢ εἰς τὸ πρῶτον ἤγουν τὸ παθεῖν, ἢ εἰς τὸ δεύτερον τὸ ποιῆσαι, ἢ εἰς τὸ ποιῆσαι καὶ παθεῖν, ἐρευνᾶν αὐτόν, πόσον ἐχρόνισεν εἰς τὰ παρὰ φύσιν, καὶ εἰ ἄρα μίαν, ἢ δεύτερον, καὶ τρίτον, ἢ καὶ πολλάκις, ἢ ἔχοντα γυναῖκα ἢ οὔ· καὶ (л. 210) εἰ πρὸ τῶν τριάκοντα χρόνων τῆς αὐτοῦ ἡλικίας, ἢ μετὰ ταῦτα, καὶ σὺν τούτοις εἰ ἔπεσεν εἰς κτῆνος· εἰς οἷον δὲ πέσῃ κτῆνος, μία διαφορά ἐστι. καὶ εἰ ἄρα ἔπεσεν εἰς μαλακίαν· ἡ γὰρ μαλακία δύο ἐχει τὰς διαφοράς, ἢ διὰ τῆς ἰδίας χειρός, ἢ διὰ τῆς ἑτέρου γινομένη χειρός, ὡς ἀρτίως οἱ ἄρχοντες ἐλεεινοὺς ποιοῦσιν ἑαυτούς, ὡς καὶ ἑτέρους ἀπολλύοντες τοὺς ἐξ αὐτῶν μανθάνοντας τὸ τοιοῦτον μῦσος.

Καὶ ὅταν ταῦτα ἐρωτηθῇ ὁ ἐξομολογούμενος, ἐρευνᾶσθαι καὶ περὶ τῆς πολυπλόκου αἱμομιξίας· οὐ μία γὰρ ἢ δύο ἢ τρεῖς, ἀλλὰ πολλαὶ καὶ ποικί-

λαι αἱ ταύτης διαφοραί. καὶ ἄλλο μὲν τὸ εἰς δύο ἀδελφὰς περιπεσεῖν ἐκ πατρὸς ἢ μητρος ἢ καὶ τῶν ἀμφοτέρων· ἕτερον τὸ εἰς ἐξαδέλφας· καὶ ἄλλο τὸ εἰς νύμφην ἤγουν υἱοῦ ἢ ἀδελφοῦ γυναῖκα· ἄλλο τὸ εἰς πενθεράν· ἕτερον τὸ εἰς μητρυιὰν ἤ τινα τῶν τοῦ πατρὸς παλακῶν. φθάζουσι δέ τινες καὶ ἕως τῶν ἰδίων μητέρων. καὶ ἄλλο πάλιν τὸ εἰς ἰδίαν συντέκνισσαν, καὶ ἄλλο εἰς ἣν ἐδέξατο θυγατέρα· πάντα ταῦτα ἐρευνᾶσθαι δεῖ τὸν ἐξομολογούμενον. φθάζουσι δέ τινες καὶ ἕως αὐτῶν τῶν ἰδίων γυναικῶν τὸ ἀθέμιτον τῆς ἀρρενομανίας ἐκτελέσαι ἔργον.

Καὶ μετὰ ταῦτα πάντα καὶ περὶ φόνων καὶ κλεμμάτων καὶ ἀρνήσεως λογαρίου ἐρωτᾶν αὐτόν· καὶ ὅταν περὶ πάντων καλῶς αὐτὸν ἐρευνήσῃς, καὶ εἴπῃ ὁ ἐξομολογούμενος ἤ τινα ἐξ αὐτῶν, ἢ ἕν, ἢ δύο, ἢ τὸ ἥμισυ, ἢ ὅλα (ἐνδέχεται γάρ τινα καὶ εἰς ὅλα εὑρίσκεσθαι), τότε ῥίπτειν πάλιν τὸν ἐξομολογούμενον ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου καὶ κειμένου αὐτοῦ ἐπεύχεσθαι αὐτὸν οὕτως.

Εὐχή.

Ὁ Θεὸς ὁ συγχωρήσας διὰ Νάθαν τῷ Δαβὶδ τὰ ἴδια ὁμολογήσαντι κακά, καὶ Πέτρῳ τὴν ἄρνησιν κλαύσαντι ἰσχυρῶς, καὶ πόρνην δακρύσασαν ἐπὶ τοὺς ἀχράντους αὐτοῦ πόδας, καὶ τελώνην καὶ ἄσωτον δικαιώσας· ὁ εἰπὼν ἐξομολογεῖσθε ἀλλήλοις, καὶ ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν καθαρίσει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας· αὐτὸς ὁ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς συγχωρήσει σοι πάντα ὅσα ἐνώπιον αὐτοῦ ἐξομολογήσω τῇ ἐμῇ ἀναξιότητι, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι· καὶ ἀκατάκριτόν σε ἔμπροσθεν τοῦ βήματος αὐτοῦ παραστῆναι καταξιώσει ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Καὶ μετὰ τοῦτο ἐγείρειν αὐτὸν καὶ ποιεῖν σκεπάζεσθαι καὶ συγκαθέζεσθαι μετ' αὐτοῦ καὶ ἐρωτᾶν αὐτόν, ποίαν ἐντολὴν ἰσχύει φυλάξαι· οὐ γὰρ ὃ θέλει δίδωσιν ὁ ἐπιτιμῶν ἐπιτίμιον, οὐδὲ ὃ πρέπει καὶ ἀπαιτεῖ, ἀλλ' ὃ φυλάξαι προαιρεῖται ⟨ὁ⟩ ἐπιτιμώμενος· ὅτι οὐ πρὸς ἀναλογίαν τῶν ἁμαρτημάτων παρὰ τοῖς χριστοσπλάγχνοις καὶ χριστομιμήτοις καὶ τοῖς καλῶς διακρίνειν δυναμένοις καὶ πρόσωπον, καὶ φύσιν, καὶ ὥραν, καὶ τόπον, καὶ γνῶσιν, καὶ ἀγνωσίαν, καὶ νεότητα, καὶ γῆρας δίδονται τὰ ἐπιτίμια, ἀλλὰ πρὸς τὴν οἰκείαν σύγκρισιν καὶ διάκρισιν καὶ τοῦ διακρῖναι ὀφείλοντος καὶ πρόσωπα, καὶ ὥραν, καὶ τόπον, καὶ φύσιν ὁ ἀνάδοχος τοῦ ἐξομολογουμένου· ἐνδέχεται γὰρ τὸν ὀλιγοαμάρτητον καὶ πρόθυμον μέγα λαβεῖν ἐπιτίμιον, ὅπως μὴ ἄφεσιν κακῶν μόνον λάβῃ, ἀλλὰ καὶ στέφανον παρὰ τοῦ θεοῦ κομίσηται· τὸν δὲ πολυαμάρτητον καὶ ῥᾴθυμον ὀλίγον, ἵνα μὴ καταποθεὶς ὑπὸ τοῦ βάρους καὶ ῥᾳθυμήσας πάντα ἀφήσῃ. Οὐ γὰρ προσετάγημεν κουφίζειν βάρη καὶ βάρη ἐπιτιθέναι· χρηστὸς γὰρ ὁ τοῦ Χριστοῦ ζυγός,

καὶ τὸ φορτιον ἐλαφρόν. Δεῦτε γὰρ πρός με κἀγὼ ἀναπαύσω ὑμᾶς· καὶ ἐνδέχεται πάλιν τὸν εἰς μικρὰ ἁμαρτήματα ἐμπεσοντα, εἰ καὶ εἰς πολλὰ ἐλάττονα δέ, ἀπολαύσαντα δὲ ἔτεσι πλείστοις τῶν ἐπιθυμιῶν αὐτοῦ, πλείονα λαβεῖν ἐπιτίμια τοῦ εἰς μεγάλα καὶ βαρέα περιπεσοντος, τάχιον δὲ διὰ τὸν Θεοῦ φόβον ἀποκόψαντος. Οὐ γὰρ χρονῳ κρίνεται μετάνοια, ἀλλα διαθέσει ψυχῆς, ὡς φησιν ὁ θεῖος Χρυσοστομος. καὶ πάλιν ὁ μέγας Βασίλειος, ὅτι οὐ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τροπῳ τῆς μετανοιας προσ-(π. 211) έχομεν, ὅτι ἐξουσίαν ἔχει ὁ ἐμπιστευθεὶς τὴν ψυχὴν ἐκείνην παρα τῆς τοῦ θεοῦ φιλανθρωπίας, εἰ φιλανθρωπότερον ἡμεῖς κελεύσει τοῦ ἁγίου Πνεύματος ἐγράψαμεν εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμιων, οὐκ ἐσται καταγνώσεως ἄξιος. Καὶ Γρηγόριος ὁ Θεολόγος· οτι μὴ ἀπαξιώσῃς ἐξαγορεῦσαί σου την ἁμαρτίαν, εἰδὼς ὁπως Ἰωάννης ἐβάπτισε, μέρος γὰρ τοῦτο κολάσεως. Ὢ τοῦ θαύματος ὁπόσην ἑρμηνείαν, μᾶλλον δὲ τὴν παραμυθίαν, ἵνα μὴ εἴπω τὴν εὐελπιστίαν καὶ σωτήριον σωτηρίαν τό* [μέρος γὰρ καὶ τοῦτο κολάσεως]. Καὶ ὁ Χρυσόστομος παλιν· οτι οἱ Νινευῖται οὐ πολλῶν ἐδεήθησαν ἡμερῶν, ἀλλὰ τριῶν μόνον· καὶ ὁ ληστὴς δὲ οὐ τρεῖς ἡμέρας ἢ μέρος, ἀλλ' ὁσην ἄν τις ἀναλώσῃ ἓν ῥῆμα φθεγγομενος τὴν εἰς τὸν παράδεισον ἤνυσεν ὁδόν· ταῦτα δὲ παρεξῆλθον ὁια τοὺς βαρύνοντας τὰ ἐπιτίμια καὶ ἴσα πᾶσι κατὰ τὸν ὁρισμὸν τῶν θείων κανόνων λαμβάνειν οὐ καλῶς, οὐδὲ ὀρθῶς, οὐδὲ δικαίως, ἀλλὰ ἀπανθρώπως καὶ ἀγνώστως λαμβάνειν εἰς ἐπαγγελλομένους. Καὶ ταῦτα μὲν περὶ ἀνδρῶν.

Αἱ δὲ γυναῖκες πλείονα ὀφείλουσι τῶν προγραφέντων ἐρευνᾶσθαι· φθάνουσι γὰρ ἕως φαρμακειῶν καὶ μαγειῶν, ὧν καὶ τὸ εἰπεῖν ὀρικτόν, οὐχὶ δὲ διαπράξασθαι, καὶ φόνων δὲ διαφόρων ἐν ταῖς συλλήψεσι καὶ ἐν ταῖς τελείαις ἀποκυήσεσι· τινὲς γὰρ αὐτῶν καὶ κατὰ μῆνα ἡμερῶν φόνον ποιοῦσιν, ὡς ὁ ταπεινὸς ἐγὼ μετὰ τὰ προγραφέντα πάντα ταῦτα καὶ τοῦτο ἀνεδεξάμην τὸ ἐλεεινὸν κατὰ μῆνα φόνον διά τινος βοτάνης ποιεῖν.

Ἐρευνᾶσθαι δεῖ οὖν καὶ τὰς γυναῖκας, ὡς εἶπον, μετὰ τὸ εἰπεῖν πάντα· ‹ἐρωτάσθασαν καὶ τοῦτο› πόσα ἐφόνευσαν παιδία καὶ μάλιστα αἱ χῆραι καὶ αἱ μονάστριαι, καὶ διὰ ποίων καὶ πόσων τρόπων· ἄλλο γάρ ἐστι τὸ ποιεῖν φάρμακον καὶ μηκέτι ποιῆσαι παιδίον, ὁ καὶ βαρύτερον πάντων, οὐκ οἶδε γὰρ πόσα ἔμελλε ποιεῖν· καὶ ἕτερον τὸ διὰ τριμμάτων, τὸ καὶ τοῦ ἄλλου κουφότερον· τὸ δὲ διά τινος βοτάνης κατὰ μῆνα ἔμβρυον ἀποκτείνειν πάντιπου ὀλεθριώτερον καὶ περὶ τὸν φόνον φονικώτερον· ὁ καὶ ἕως θανάτου τὸ ἐπιτίμιον ἔχει μὴ κοινωνεῖν, ἐὰν μὴ τοῦτο ἀποκόψῃ. καὶ ἄλλα μὲν(?)· ἀλλὰ τέως τοῦτο. Καὶ ταῦτα μὲν περὶ τῆς ἀκραιφνοῦς ἐρεύνης καὶ διαφορᾶς τῶν ἐξομολογούντων, καὶ πῶς δεῖ ἐξομολογεῖσθαι.

Приложение № 2.

Αἱ δὲ ἐπιτιμήσεις καὶ διαφοραὶ τῶν ἐπιτιμίων εἰσὶν αὗται· Βασιλείου τέκνου τῆς ὑπακοῆς, μαθητοῦ τοῦ ἁγίου Βασιλείου τοῦ μεγάλου.

Ὅσα ἐγένοντο πρὸ τῶν τριάκοντα χρόνων ἔν τε ἀνδράσι ἔν τε γυναιξίν, εὐσύγγνωστα καὶ ταχυσυγχώρητα ἔστωσαν, οἷα ἄν εἰσιν, ὥστε καὶ ὡς τριῶν ἢ καὶ δύο ἐτῶν ἔχει‹ν› τὴν ἐπιτίμησιν, ἐὰν οὐκ ἔστι φόνος οἱοςδήποτε ἡ μεγάλη αἱμομιξία. Ἐὰν δὲ μετὰ τριάκοντα ἔτη γεγόνασιν, καὶ ἕως τριῶν ἢ καὶ τεσσάρων. ὅπου δὲ ἔστι φόνος ἢ καὶ φόνοι καὶ ἀπὸ τῶν ὑψηλῶν αἱμομιξιῶν, ἤτοι περὶ γνησίας ἀδελφῆς ἤγουν ἐκ πατρὸς ἢ ἐκ μητρός, ἢ υἱοῦ γυναικός, καὶ τεσσάρων καὶ πέντε. Ἐὰν δὲ τύχῃ ἢ συντέκνου, ἢ θυγατρός, ἧς ἐδέξατο, ἢ μητρός, καὶ ἕως ε′ καὶ ς′. Ἐὰν δὲ κατὰ φύσιν μόνον ἥμαρτεν, οὐ περιέπεσε δὲ εἰς τὰ παρὰ φύσιν, οὔτε εἰς αἱμομιξίαν, οἷα κἄν εἰσι, καὶ εἰς χρόνον καὶ δύο ἐπιτιμάσθω καὶ μόνον. Ταῦτα δὲ ὅσα χρονικῶς ἐπράχθησαν καὶ ἐχρόνισαν πολλάκις ἕως γήρως. Ὅσα δὲ ἅπαξ, ἢ καὶ β′, ἢ καὶ γ′ γεγόνασι καὶ ἐκόπησαν, οἷα ἂν καί εἰσιν, χρόνον ἢ καὶ ἡμίσεως ἐπιτιμάσθωσαν. Ἐὰν δὲ ἐπὶ γυναικῶν φόνοι τινὲς διάφοροι καὶ μαγεῖαι ἐπράχθησαν, ἢ καὶ ἕως αὐτῶν τῶν παρὰ φύσιν, καὶ ἕως η′ καὶ ι′ ἔτη ἐπιτιμᾶσθαι ταύτας.

Ταύτας δὲ τὰς διαφορὰς καὶ τὰς ἐπιτιμήσεις περὶ τῆς κοινωνίας ὁρίζομεν· πάντων γὰρ βαρύτερον ἁμαρτημάτων τὸ ἀναξίως κοινωνεῖν, ὁ καὶ διέλαθεν ἡμᾶς ἐρωτᾶσθαι τοὺς ἐξομολογουμένους μετὰ τὴν ἅπασαν τῶν ἁμαρτημάτων ἐξομολόγησιν, τὸ εἰ ἄρα τὰ προλεχθέντα ποιῶν ἐκοινώνει καὶ μάλιστα ἔξω πασχαλίας. τοῦτο (л. 212) χεῖρον πάντων εἶναι, οἷον κἂν ἔστι τῶν ἐλαχίστων ἁμάρτημα καὶ πλείω τὴν ἀποχὴν τῆς ἀχράντου ποιεῖν κοινωνίας χρή.

Αἱ δὲ ἐπιτιμήσεις τῶν τοιούτων ἁμαρτημάτων αὗται· εἰς ἄπειρα πλήθη κοσμικῶν τε καὶ μοναχῶν, γυναικῶν τε μοναζουσῶν καὶ λαϊκῶν, πτωχῶν τε καὶ πλουσίων, ἀρχόντων τε καὶ ἀσθενῶν καὶ τῶν εἰς αὐτὸν τὸν θάνατον μετανοούντων ᾠκονόμηται καὶ ὥρισται καὶ ἐπιτετίμηται· εἰσὶ δὲ αὗται. Ἐάν τις ἥμαρτε κατὰ φύσιν, ἐχρόνισε δὲ πλείστους χρόνους ἐν τῇ κατὰ φύσιν ἁμαρτίᾳ, εἴτε καὶ ἕως αὐτοῦ τοῦ γήρως, μάλιστα δὲ εἰ ἔτυχε γυναῖκα ἔχων, τρισὶν ἔτεσιν ἐπιτετίμηται, ἤγουν τῆς κοινωνίας κεχώρισται· ὁμοίως καὶ ὁ μὴ ἔχων γυναῖκα, εἰ οὕτως ἕως γήρως ἐνεφόρει μὴ ἀνανεύσας· ὁμοίως καὶ οἱ παρὰ φύσιν πεσόντες, τουτέστιν εἰς κτῆνος, ἢ εἰς ἄνδρα, ἢ καὶ ποιήσαντες καὶ παθόντες, τάχιον δὲ ἀποκόψαντες· ὁμοίως καὶ οἱ εἰς αἱμομιξίαν πεσόντες, τουτέστιν εἰς ἰδίας ἀδελφὰς μονοπροσώπως,

ἢ μητρυιάς, ἢ ἀδελφοῦ γυναῖκα, ἢ ἐξαδέλφων πρώτων, ἢ τῶν τοιούτων ἁπάντων. τὸ δὲ εἰς μητρυιᾶς θυγατέρα, ἢ εἰς δύο ἀδελφάς, ἢ εἰς ἀδελφὴν ἀμφοτέρωθεν περιπεσεῖν, ἢ εἰς θυγατρὸς ἄνδρα, καὶ εἰς δ' ἔτη ἐπιτιμάσθω, καὶ μάλιστα ἐὰν ἀπέκοψαν τάχιστα, εἶχον δὲ καὶ ἄλλας ἁμαρτιας ἤγουν πορνείας ἢ καὶ μοιχείας.

Τὸ δὲ εἰς ἰδίαν θυγατέρα ἢ καὶ μητέρα πεσεῖν, καὶ πέντε καὶ ς' καὶ ζ' καὶ η' καὶ ι'. ὁμοίως καὶ εἰς αὐτὴν ἣν ἐδέξατο θυγατέρα καὶ εἰς αὐτὴν τὴν συντέκνισσαν, ἧς καὶ τὸ παιδίον ἐδέξατο, καὶ ἑως η' καὶ ι'. ὁμοίως καὶ εἰς ἴδιον ἀδελφὸν ἐάν τις ἀρρενοκοιτήσας πέσῃ, καὶ τὰ μάλιστα εἰ καὶ παθὼν παρὰ τοῦ πρώτου τῷ τρίτῳ ποιήσῃ, ὡς ἀνωτέρω γέγραπται, ὅτι τοιαῦτα ἀνεδεξάμην. ὁμοίως καὶ ὁ πρῶτον ποιήσας τῷ δευτέρῳ, ὡς διδάσκαλος καὶ αἴτιος τοῦ κακοῦ· ὁ δὲ παθὼν τρίτον, εἰ μόνον πάθῃ, μὴ ποιήσῃ δέ, ἐλάττω τὸ ἐπιτίμιον. ὁμοίως καὶ ὁ εἰς κτῆνος πεσὼν ἀρρενικῶς, καὶ μάλιστα εἰ τύχῃ γυναῖκα ἔχειν, ἢ καὶ μοναχὸς εἶναι μεγαλόσχημος, ἢ καὶ διαφόρως τὰ τοιαῦτα ῥωραθείη ποιεῖν. ὁμοίως καὶ ὁ εἰς γυναῖκα ἐπὶ τὸν ἀρεδρῶνα ἁμαρτῶν, καὶ μάλιστα εἰς τὴν ἰδίαν γυναῖκα, καὶ τὸ δεινὸν εἰ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ποιήσας φανείη. οἱ δὲ εἰς κτῆνος, ἢ εἰς ἄνδρας πεσόντες ἅπαξ ἢ δις ἢ τρὶς καὶ οὐ περαιτέρω, καὶ εἰς διετίαν ὠφονόμηται παρ' ἐμοί, καὶ μάλιστα εἰ ἄγνωστοι ἦσαν ἤγουν ἀγράμματοι, ἢ μὴ ἔχοντες γυναῖκας, ἢ ἕσω τῶν λ' χρόνων τῆς αὐτῶν ἡλικίας, ἢ καὶ ἄλλην ἁμαρτίαν πεποιήκασι τὴν οἰανοῦν. οἱ δὲ καὶ ταῦτα, ὡς ἔφην, ποιήσαντες καὶ δὶς καὶ τρὶς καὶ ἔξω ὄντες τῶν λ' χρόνων καὶ εἰς ἄλλα δὲ πάθη ἑάλωσαν, καὶ εἰς γ' χρόνους ἐπιτιμῶνται· ὅμως πᾶσα ἁμαρτία ἕσω τῶν λ' χρόνων γενομένη πάσης συμπαθείας ἐστὶ ἀξία, εἰ καὶ τῶν λίαν μεγάλων ὑπάρχει, καθὼς καὶ τῶν ἔξω ὄντων τῶν λ' χρόνων πολλῆς ἂν εἴη καταγνώσεως ἀξία, εἰ καὶ τῶν λίαν ἐλαττόνων.

Ὅμως ὁ δεχόμενος τὴν ἐξομολόγησιν ὀφείλει ὁρᾶν καὶ νεότητα καὶ γῆρας, καὶ δύναμιν καὶ ἀδυναμίαν, καὶ τόπου διαφορὰν καὶ τρόπου, δι' οὗ γέγονέ τι κακόν, καὶ εἰ ἐκεῖνος ἠὐτομόλησε καὶ τὸ ἕτερον πρόσωπον, καὶ εἰ ἐκ μελέτης ἢ ἐκ συμβάσεως γέγονε τοῦτο, ἢ ἀπὸ οἴνου, ἢ ἀπὸ κόρου, ἢ κατὰ παρ' ἄλλων φόβον, ἢ ἐξουσίαν, ἢ πτωχείαν, καὶ ὅσα τούτων ὅμοια, ἀνακρίνειν ὀφείλει ὁ ἀναδεχόμενος καὶ τὸν ἄνθρωπον, καὶ τὴν ὥραν, καὶ τὸν τόπον, καὶ τὴν βίαν, καὶ τὴν ἄνεσιν, καὶ οὕτως ἐπιτιμᾶν· ὁμοίως καὶ τὸν συντριμμόν, καὶ τὴν αἰσχύνην, καὶ τὴν κατήφειαν, καὶ τὸ ἔμφοβον καὶ τὸ πιστόν· ὁμοίως καὶ τὸ καταφρονητικόν, καὶ ἀναιδές, καὶ τὸ ἀταπείνωτον· (π. 213) ταῦτα δὲ ἐρευνᾶν ὀφείλει ὁ ἀναδεχόμενος τὸν μετανοοῦντα καὶ οὕτως ἐπιτιμᾶν. εἰσὶ γὰρ ψυχαὶ δυνάμεναι διὰ ἠθῶν χρηστῶν τὰ μεγάλα αὐτῶν καὶ πάμπολλα κακὰ ἥττονα ποιῆσαι, καὶ ἕτεραι τὰ μικρὰ μείζονα

ἐργάσασθαι διὰ τὸ ἀναιδὲς καὶ τὸ καταφρονητικὸν καὶ ἀταπείνωτον. Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, λέγει Κύριος, ἀλλ' ἢ ἐπὶ τὸν πρᾷον καὶ ἡσυχον καὶ τρέμοντά μου τοὺς λόγους. Οἱ δὲ ἁμαρτάνοντες κατὰ φύσιν καὶ ὀλιγάκις ἤγουν τάχιον ἀποκόψαντες, εἰς ἐνιαυτὸν συγκεχώρηται παρ' ἐμοί, καὶ εἰ ἔτυχον μάλιστα τῆς ἀψῆς εἶναι φύσεως, καὶ διὰ τὸν τοῦ Θεοῦ φόβον ἀπέκοψαν. οἱ δὲ τῆς ἠλιθίου φύσεως ὄντες καὶ ἐν τοῖς κατὰ φύσιν μεγάλως κρίνονται καὶ τελείως, ὥστε τῶν παρὰ φύσιν ἴσα τῆς θερμῆς οντες φύσεως ἐπιτιμᾶσθαι· εἰ δὲ οὗτοι παρὰ φύσιν πέσουσιν, ἢ χρονίσουσι ἐν οἱᾳδήποτε ἁμαρτίᾳ, μειζόνων καὶ τελείων ἁμαρτημάτων κατακρίσει τιμωρείσθωσαν, διὰ τὸ καὶ ἅπερ ἐκ φύσεως οὐκ ἔχουσι ἐκτελεῖν προαιρέσει· ὁμοίως καὶ οἱ γεγηρακότες τῇ ἁμαρτίᾳ καὶ μὴ ἀνανεῦσαι ἐκ τοῦ γήρως προιέμενοι.

Εἰ δὲ ἄνευ φρονήσεως ἤγουν τῶν τριακοστῶν χρόνων οντες ἐν οἱᾳδηποτοῦν περιπέσωσιν ἁμαρτίᾳ, εἴ τε ἐν ἀγνωσίᾳ, εἴτε πάλιν οὐκ ἐκ μελέτης, ἀλλ' ἐκ συμβάσεως, τάχιον δὲ ἀποχὴν ἐποιήσαντο, τάχιον τὴν συγχώρησιν καὶ ὀλίγην τὴν ἐπιτίμησιν λαμβανέτωσαν, οἵα ἂν ἐστι ἡ τυχοῦσα ἁμαρτία καὶ ἕως αὐτῶν τῶν παρὰ φύσιν, τουτέστι τῶν μέσων, οὐ τῶν τελείως ἀπηγορευμένων ἤγουν τῶν ἀγράφων παρὰ τοῖς θείοις κανόσιν, οἷον ἐπὶ γυναικῶν ⟨καὶ ἀνδρῶν⟩ τῶν παρὰ φύσιν καὶ τῶν ἐν ἰδιωσύνῃ ἀνδρομανούντων τοῖς τε τέκνοις καὶ θυγατράσιν ἀπὸ βαπτίσματος, ἢ εἰς ἰδίαν περιπιπτόντων μητέρα, τουτέστιν οἱ ἔξω ἁλόντες ἅπαξ ἢ δὶς ἢ τρίς, καὶ ὡς ἔφην ἔσω οντες τῶν λ' χρόνων καὶ ἀπέκοψαν, καὶ ἕως χρόνου, ἢ καὶ τὸ πολὺ δύο ἐπιτιμάσθωσαν καὶ μόνον, καὶ κοινωνείτωσαν.

Καὶ ταῦτα μὲν πρὸς μικρὸν ἐξ ὧν ἐγὼ ὁ ἀνούστατος καὶ κατὰ πάντα ἀθλιώτατος ᾠκονόμησα περὶ τῆς κοινωνίας. Τὰς δὲ περὶ βρώσεως καὶ πόσεως καὶ εὐχῆς οἰκονομίας καὶ ὅπως ἐνδέχεταί τινας ἐξομολογουμένους εἰς ἕνα ἢ καὶ διάφορα πρόσωπα, περί τε τῆς κοινωνίας καὶ τῶν ἄλλων ἐπιτιμᾶσθαι καὶ μὴ ἀπογιγνώσκεσθαι, ἀλλ' εἶναι καὶ αὐτοὺς ἔσω (εἴσιο) τῶν τῆς μετανοίας ὅρων καὶ ἐν ἐλπίσι χρησταῖς τὸ ὁπωσδηποτοῦν ὀψέποτε δι' αὐτῶν τῶν οἰκονομιῶν ἀποκόψαι καὶ εἰς διόρθωσιν ἐλθεῖν τελείαν, καὶ ὅπως χρὴ ἐρευνᾶσθαι τῶν ἐξομολογουμένων καὶ τὴν ποσότητα τῶν ἐτῶν καὶ προσώπων, καὶ ὅπως ὀφείλει ὁ ἀναδεχόμενος τούτους ἐρευνᾶν, ἅμα δὲ καὶ περὶ ἱερωμένων καὶ ἱερέων, ὁμοῦ δὲ καὶ περὶ τοῦ ἀξίως εἰς ἱερουργίαν ἐλθεῖν, καὶ ἕως πόσου ταῦτα καὶ ποίως κρίνεται, φέρε διὰ βραχέων ὡς ἡ δύναμις καὶ ἓν (ὡς) ἴσμεν ἐροῦμεν.

Εἰ μὲν ἀνάγκης χωρίς, τουτέστιν φόβου ἀνθρωπίνου ἢ πτωχείας ἐν ἐθνικοῖς ἐμολύνθησαν σώμασιν ἄνδρες ἢ γυναῖκες ἄνευ ἀνδρῶν νομίμων, τριετίαν μενέτωσαν ἀκοινώνητοι, μετὰ δὲ τῶν προγεγραμμένων ἐν τῷ περὶ βρώσεως καὶ εὐχῆς τόπῳ ἐπιτιμίων, εἴ τι ἂν καὶ οἷον αἱροῦνται ἀπὸ τῶν

τριῶν. Οἱ δὲ νομίμως γυναῖκας ἢ γυναῖκες ἄνδρας ὧσιν ἔχοντες, καὶ ἐν τέσσαρσι ‹ἢ› πέντε ἔτεσιν ἐπιτιμάσθωσαν, καὶ μάλιστα εἰ τύχοιεν ἕκαστος (ἐν ἑτέροις) περιπεσεῖν ἁμαρτήμασι· εἰ δὲ καὶ μετὰ φόβου καὶ ἐξουσίας ἢ καὶ διὰ πτωχείαν, χρόνον ἕνα ἢ πολὺ β'. Ἱερωμένων δὲ γυναῖκες, τουτέστιν ἢ διακονων ἢ πρεσβυτέρων, ὅπου ἐὰν περιπέσωσι, τριετίαν ἐπιτιμάσθωσαν, ὡς τοὺς ἱερεῖς αὐτῶν φονεύσασαι, οὐκέτι γὰρ ἐκεῖνοι ἱερουργήσουσιν, εἰ μετὰ ‹τῶν› γυναικῶν αὐτῶν συμμεῖναι ἕως ἂν ἁπαξ θελήσωσιν· οἱ δέ γε ἱερεῖς, διάκονοι ἢ πρεσβύτεροι, ὅπου ἐὰν περιπέσωσιν ἢ καὶ μίαν ῥοπὴν ἡ πτῶσις γένηται, μηκέτι τὸ σύνολον ἱερουργήσωσιν· κοινωνείτωσαν δὲ ἀκατακρίτως, ὅτε καὶ θέλωσιν· ἀναγνώστου δὲ τάξιν ἐχέτωσαν, εἰς ἃ οἶδεν ἀναγνώστης ἀνερυθριάστως ἐνεργοῦντες. (l. 214) Ἀναγνώστης δὲ ἐὰν πέσῃ, ἢ ἡ τούτου γυνή, μηκέτι τὸν ἀναγνώστην περαιτέρω προκόπτειν, ἀλλὰ μένειν ἀπρόκοπον. Ἐὰν δέ τις παιδίον ὢν, ἢ κοσμικῇ ἢ μοναχικῇ τάξει ὤν, ἢ παπαδικῇ, φθαρεὶς δὲ ὑπό τινος ἀνδρός, εἰ μὲν εἰς τοὺς μηροὺς καὶ μόνον, ἐρχέσθω [δὲ] εἰς ἱερωσύνην, καὶ μάλιστα εἰ ἁπαξ ἢ δὶς ἐγένετο· εἰ δὲ πλεῖον τούτου, τουτέστιν εἰς ἀρσενοκοίτας, μηδὲ τὸ σύνολον ἐρχεσθαι εἰς διακόνου ἐμβάθμου ἢ ἱερέως ἀξίαν· εἰ γὰρ κἀκεῖνος οὐχ ἥμαρτεν, ἀλλ' ὅμως τὸ σκεῦος ἐρράγη, καὶ οὐκ ἐνδέχεται αὐτὸν ἱερουργῆσαι, μεμόλυται γάρ. εἰ δὲ εἰς μαλακίαν ἐμπέσῃ πρὸ τοῦ ἱερουργηθῆναι μὴ εἰδὼς τί ἐστι, καὶ ὅτι ἄπειρον αὐτὸν τοῦ μὴ δέξασθαι ἱερωσύνην ἢ κατὰ ἀγνωσίαν, ἢ παρὰ ἄλλου ψυχοφθόρου ἢ ἀγνώστου τοῦτο ἐδιδάχθη, ἔστι δὲ ὁ ἄνθρωπος ἡ σορος, ἢ εὐλαβής, ἢ καὶ τὰ ἀμφότερα, ἐπιτιμάσθω πρῶτον, καὶ οὕτω ἀξιούσθω. Εἰ δὲ μετὰ τὴν ἱερωσύνην ἐν τούτῳ ἑάλω κατα τὸν σκοπὸν ὃν προειρήκαμεν κατὰ ἄγνοιαν, ἢ παρὰ ἄλλου διδαχθεὶς μὴ εἶναι κακόν, λαμβανέτω χρόνου ἐπιτίμιον κρατούμενος καὶ τοῦ μὴ ἱερουργεῖν, καὶ οὕτως ἱερουργείτω· εἰ δὲ δευτερώσει καὶ τριτώσει, μηκέτι ἱερουργείτω, ἀλλ' εἰς τὴν τοῦ ἀναγνώστου τάξιν ἐρχέσθω.

Ἐὰν δέ τις ἔκλεψε κεφαλαιώδη κλέμματα, μὴ ἐρχέσθω εἰς ἱερωσύνην· ὁμοίως καὶ οἱ μετὰ τὴν ἱερωσύνην ὄντες καὶ κλέπτοντες, μηκέτι ἱερουργείτωσαν· ὡσαύτως καὶ οἱ χωρὶς ἱερωσύνης κλέπτοντες μὴ ἐρχέσθωσαν εἰς ἱερωσύνην ποτὲ, ἀλλὰ τὸ τῶν πόρνων λαμβανέτωσαν ἐπιτίμιον.

Ἰδοὺ τὸ δεύτερον τῶν διαφορῶν (τὸ) ἐπιτίμιον καὶ αὗται αἱ διαφοραὶ τῶν ἐξομολογουμένων καὶ τῶν τούτους ἀναδεχομένων καὶ περι βρώσεως καὶ πόσεως καὶ εὐχῆς. Τῶν δὲ ἐξαγγελλόντων εἰσὶ τροποι παρ' ἐμοὶ διαφέροντες ἀλλήλων ι'.

Ἕτερος ὁ ὀλίγον ἁμαρτήσας καὶ αὐτοπροαιρέτῳ γνώμῃ μετανοήσας, ὡς καὶ εἰς ενν πρόσωπον. Ἕτερος ὁ πολλάκις καὶ εἰς πολλὰ ἀλοὺς πρόσωπα. Ἕτερος ὁ κατὰ φύσιν ἁμαρτήσας, ἴσως χρονίσας ἕως γήρως. Ἕτερος ὁ παρὰ φύσιν ἁμαρτήσας, τάχιον δὲ ἀποκόψας διὰ τὸν τοῦ Θεοῦ φόβον. Καὶ

ἕτερος ὁ δι' ἀσθένειαν ἢ περίστασιν καὶ συμφορὰν εἰς ἐξομολόγησιν ἐλθών. Καὶ ἕτερος ὁ παυσάμενος τῆς ἁμαρτίας, οἵα ἂν εἴη, καὶ εἶθ' οὕτως ἐξαγγείλας τὰ αὐτῷ ἡμαρτημένα. Καὶ ἄλλος ὁ ἕως τῆς ἐξομολογήσεως ἁμαρτάνων, μετὰ τὴν ἐξομολόγησιν δὲ παυσάμενος. Καὶ ἕτερος ὁ ἐξομολογούμενος μὲν τῶν ἁμαρτιῶν, ἀποχὴν δὲ ποιῆσαι μὴ ἰσχύων, ἤγουν οὐ θέλων. Ἄλλος ὁμολογῶν μὲν ποιήσασθαι ἀποχὴν τῶν κακῶν, ἑνὸς δὲ προσώπου μὴ δυνάμενος. Καὶ ἄλλοι δὲ οἱ ἐπὶ ταξειδίων καὶ κατὰ φόβον, ἢ κατὰ ἀνάγκην ἢ δῶρον, ἢ καὶ κατὰ διαφόρους τινὰς τρόπους ἁμαρτάνοντες καὶ ἐξομολογούμενοι. Οὗτοι δὲ πάντες ἕκαστος αὐτῶν ἀνακρινόμενος, ὡς καὶ ἕκαστος ἥμαρτεν ἀπὸ τῶν δέκα τούτων τρόπων ὁμολογῶν ὀφείλει εἰπεῖν, εἰς ὅσα πρόσωπα ἔπεσε, τουτέστι γυναῖκας, ὁμοίως καὶ αἱ γυναῖκες εἰς πόσους ἄνδρας ἔπεσαν· καὶ τότε ὁ ἀναδεχόμενος σὺν Θεῷ τὴν ἐξομολόγησιν ἀνακρινάτω αὐτούς, ὁποῖα ἦσαν τὰ πρόσωπα ἀπὸ τῶν ἓξ διαφορῶν τῆς πορνείας, τουτέστι πόσαι ὕπανδροι καὶ πόσαι πόρναι, πόσαι χῆραι καὶ πόσαι δοῦλαι, πόσαι μεγαλόσχημοι μονάστριαι καὶ πόσαι ἱερωμέναι ἤγουν πρεσβυτέρισσαι ἢ ἐμβάθμων διακόνων γυναῖκες. αἱ γὰρ μικρόσχημοι μονάστριαι καὶ αἱ τῶν ἀναγνωστῶν ὡς πόρναι κρίνονται. Καὶ ὅταν τούτων τὰς διαφορὰς καὶ τὰς ποσότητας ἐξείπωσιν οἱ ἐξομολογούμενοι, καὶ πόσον ἐχρόνισαν εἰς ἕκαστον αὐτῶν πάθος, καὶ εἰ ἔτεκον ἐξ αὐτῶν τινες ἢ οὔ, καὶ εἰ εἶχον γυναῖκας ἢ οὔ, καὶ εἰ κατὰ φύσιν ἥμαρτον (ἢ παρὰ φύσιν) ἢ τὰ ἀμφότερα, καὶ εἰ πρὸ τῶν λ' ἐτῶν ἢ καὶ μετὰ ταῦτα, ἢ καὶ κατὰ ἀμφότερα, καὶ εἰ ἅπαξ ἢ δὶς καὶ τρὶς καὶ πολλάκις, ἢ καὶ ἕως γήρως, καὶ εἰ ἕως τῆς ἡμέρας ἐκείνης ἐν ᾗ ἐξωμολογήσαντο ἡμάρτανον, ἢ προαπέκοψαν. Καὶ ὅταν πάντων τούτων ἐξείπῃ ⟨τὰς⟩ διαφοράς, πάλιν ἐρωτᾶν αὐτοὺς περὶ (л. 215) τῶν αἱμομιξιῶν, μήποτε εἰς συγγενείας τινὰς ἢ ἰδιωσύνας ἔπεσον. Καὶ εἰ ἄρα εὕροιεν αὐτοὺς ἔν τινι τούτων, ἐρωτᾶν αὐτόν, εἰ ἐστράφησαν ἀπὸ τοῦ β' προσώπου τῆς συγγενείας (ἐπὶ τὸ πρῶτον πάλιν) ἢ οὔ· χεῖρον γάρ ἐστι τοῦτο. Καὶ εἶθ' οὕτως ἐρευνᾶν αὐτοὺς περὶ τῶν παρὰ φύσιν, καὶ εἰ εἰς ἄνδρα, ἢ εἰς παιδίον, ἢ εἰς κτῆνος, ἢ εἰς ορνεον, ἢ εἰς κοράσιον πρὸ τοῦ ὡρισμένου χρόνου τῶν ζ' ἐτῶν περιέπεσον. Καὶ μετὰ ταῦτα περὶ ἑκουσίου ἢ ἀκουσίου φόνου, ὁμοῦ καὶ περὶ τῆς δεινῆς καὶ διττῆς μαλακίας. καὶ ὅταν ἢ ἓν ἐκ τούτων μικρὸν ἢ μέγα πράξαντες, ἢ ὀλιγάκις, ἢ πολλάκις, ἢ καὶ χρονίως εὔρῃ αὐτούς, ἢ καὶ τὰ ἡμίσυ, ἢ καὶ τὰ ὅλα, καὶ εἴτε εἰς κατὰ φύσιν μέν, πολλὰ δέ, οὐ μέντοι δὲ εἰς τὰ [τὰ] παρὰ φύσιν, εἴτε καὶ εἰς ταῦτα ἴσως, εἰς ἐκεῖνα δὲ οὔ, ἢ καὶ εἰς τὰ ἀμφότερα. Καὶ ὅτε ταῦτα πάντα καλῶς τὸν μετανοοῦντα ἐρευνήσωσι, τότε πρὸς τὴν δύναμιν αὐτοῦ, μᾶλλον δὲ ⟨πρὸς⟩ τὴν κατάνυξιν, πρὸς τὴν ταπείνωσιν, πρὸς τὸ δάκρυον, πρὸς τὴν ἐλεημοσύνην αὐτοῦ, εἰ ὁμολογεῖ ἔχειν ἰσχὺν τῷ Θεῷ δοῦναι, καὶ τέλος πρὸς τὴν ζέουσαν αὐτοῦ

πίστιν καὶ πρόθεσιν διδόναι αὐτῷ ἐγγράφως τὴν ἐντολὴν ἤγουν τὴν ἐπιτίμησιν. Καὶ περὶ μὲν τῆς κοινωνίας, ὡς ἀνωτέρω εἴρηται, καὶ εἰς χρόνον, καὶ εἰς δύο, καὶ γ', καὶ δ', καὶ ε', καὶ ϛ' καὶ ζ' συγχωρεῖν. Περὶ δὲ βρώσεως καὶ πόσεως, ὡς ἑκάστου ἔχει ἡ φύσις καὶ ἡ ἰσχύς, καὶ περὶ μὲν τῆς λειτουργίας ἀπὸ τοὺς κατηχουμένους ἐξέρχεσθαι τοῦ ναοῦ καὶ ἵστασθαι εἰς τὸν νάρθηκα· εἰς δὲ τὸν ἑσπερινὸν καὶ τὸν ὄρθρον καὶ τὰ λοιπὰ ἀκώλυτον εἶναι κατὰ πάντα ὅπου θέλει ἵστασθαι ἐν τῷ ναῷ ὅτε θελήσῃ. Τὰ δὲ χριστούγεννα, καὶ τὰ ῥῶτα, καὶ τὸ ἅγιον πάσχα, τὰς τρεῖς ἡμέρας, ἤτοι καὶ τῇ μεγάλῃ ε', καὶ τῷ μεγάλῳ σαββάτῳ καὶ τῇ μεγάλῃ κυριακῇ, καὶ τῶν ἁγίων ἀποστόλων τὴν μνήμην ἀντὶ κοινωνίας λαμβάνειν ἁγίασμα τῶν ῥώτων καὶ οὕτως διαλύειν οἱ μὲν μοναχοὶ τυρὸν καὶ ὠόν, οἱ δὲ λαικοὶ κρέας. Ἐρευνᾶν δὲ αὐτούς, εἰ καὶ ἰσχύουσι (εἰπεῖν) ποσότητα προσώπων, ἢ οὔ· ὁ γὰρ μὴ ἰσχύων εἰπεῖν ὡς ἄσωτος κρίνεται. Τρεῖς δὲ διαφορὰς εἰς τὸ κατ' ἐμὲ ὡς ἔχει (τέως ἔχειν) εἰς τὰ περὶ βρώσεως καὶ πόσεως ἐπιτίμια. ἡ αὐτὴ γὰρ ἀνάκρισις καὶ σύγκρισις ὀφείλει γίνεσθαι καὶ ἐπὶ γυναικῶν, καὶ ἀνδρῶν, κοσμικῶν τε καὶ μοναχῶν.

Περὶ γυναικῶν.

Αἱ δὲ γυναῖκες φαίνονται πλείω ἐρευνᾶσθαι, φθάνουσι γὰρ καὶ ἕως φαρμακειῶν καὶ μαγειῶν καὶ ἑτέρων αἰσχρουργιῶν, ὑπὲρ τοὺς ἄνδρας περιπίπτουσαι· μολύνουσι γὰρ καὶ ἐν ταῖς συνηθείαις τῶν ⟨κατα⟩μηνιαίων αὐτῶν μὴ εἰδότας τοὺς ἄνδρας, καὶ φόνους μυριοτρόπους διὰ τῶν συλλήψεων καταπολμῶσι. καὶ ἄλλη μὲν πρὸ τῆς συλλήψεως βοτάνης (βοτάναις) καταμολύνει τὴν μήτραν πρὸς τὸ μὴ συλλαβέσθαι σπεύδουσα, τουτέστι κατὰ μῆνα φονεύουσα· ἄλλη δὲ μετὰ τὴν σύλληψιν· τινὲς δὲ αἱ τέλειον βρέφος γεννηθὲν οἰκείαις ἢ ἑτέραις χερσὶ προστάξει ἀποπνίγουσι καὶ μαλακίζονται δὲ ὡς ἄνδρες καὶ αὐταὶ αἱ παρθενεύουσαι καὶ ὅλως μὴ εἰδυῖαι πεῖραν ἀνδρὸς τὴν οἱανοῦν. Οὗτοι οὖν ἅπαντες οὕτως μίαν ἀπὸ τριῶν τούτων διαφορῶν τὴν ἐπιτίμησιν λαμβανέτωσαν, ἄνευ δούλων καὶ δουλίδων. οἱ γὰρ δοῦλοι καὶ αἱ δουλίδες καὶ παρ' αὐτῶν τῶν θείων ἐκανονίσθησαν κανόνων τὸ ἥμισυ καὶ μόνον τῆς ἐπιτιμήσεως λαμβάνειν διὰ τὸ μὴ εἶναι αὐταῖς, φησίν, ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

Οὗτος οὖν ὁ πρῶτος τῆς ἐπιτιμήσεως τῶν πάντων χωρὶς δούλων καὶ δουλίδων παρ' ἐμοὶ διδόμενος εἰς πάντας τῶν ἐπιτιμίων ὅρος.

Ἀρχή.

Δευτέραν μὲν καὶ τετράδα καὶ παρασκευὴν ἐσθίειν μὲν ἔλαιον καὶ ὀψάριον μόνον, τυρὸν δὲ καὶ κρέας καὶ ὠὸν οὐχί· τρίτην καὶ πέμπτην πάντα

ἐσθίειν ἄνευ κρέατος ἀκωλύτως. σαββάτῳ δὲ καὶ κυριακῇ μὴ ἔν τινι βρώματι ἢ πόματι τὸ οἰονοῦν ἐπιτιμᾶσθαι, ἀλλ' εἶναι ἀκώλυτον εἰς πάντα, ὡς οἱ μὴ ἔχοντες ἐπιτίμιον, τουτέστιν εἰς κρέας καὶ τὸν οἶνον καὶ εἰς πάντα· ὁμοίως καὶ εἰς πᾶσαν ἑορτὴν δεσποτικὴν καὶ τῆς ὑπεραγίας θεοτόκου καὶ τῶν μὲν ιβ' ἀποστόλων, οἵαν ἂν λάχῃ ἡμέραν καὶ οἷον λάχῃ ὄνομα, εἶναι ἀκώλυτον ἐν βρώσει καὶ πόσει τὸν ἐπιτιμώμενον, μήτε παρασκευὴν μήτε τετράδα φυλάττειν ἐν ταῖς τοιαύταις ἑορταῖς· ὁμοίως καὶ τοῦ Προδρόμου καὶ τὸ δωδεκαήμερον καὶ τὴν ἑβδομάδα τοῦ πάσχα καὶ τὴν ἀπὸ τῆς ν', ἣν τοῦ ἁγίου Πνεύματος καλοῦμεν ἑβδομάδα· τὰς δὲ ἀπὸ τοῦ ἀντίπασχα ἕως τῆς μ' ἡμέρας οὕτως μὲν εἶναι καὶ εἰς αὐτὰς ὁλοακώλυτον εἰς πάντα, πλὴν (л. 216) τετραδοπαρασκευὴν κρατεῖν μονοπρόσωπον, τοὺς μὲν κοσμικοὺς τὸ κρέας, τοὺς δὲ μοναχοὺς τυρόν· εἶναι δὲ καὶ τὰς β' ἑβδομάδας τῆς ἀποκρέω ἀκωλύτως πάντας εἰς πάντα, τοὺς δὲ μοναχοὺς εἰς τυρὸν καὶ ὠόν, τοὺς δὲ κοσμικοὺς εἰς κρέας, παρεκτὸς τετραδοπαρασκευῶν αὐτῶν· ταύτας γὰρ τότε ὁλοάγνας κρατεῖν καὶ ἕως ὀψὲ νηστεύειν. ὥρισται γὰρ καὶ τοῦτο παρὰ τῶν θείων κανόνων ἀεί, ὡς εἴρηται, ἄνευ ἑορτῆς καὶ δωδεκαημέρου καὶ ν' μήτε εἰς φίλον τὸ οἰονοῦν καταλύειν αὐτούς, οὐκ οἶδα ἂν κατὰ ἀσθένειαν ἢ ἄλλην μεγάλην περίστασιν. Ἔχειν δὲ καὶ οἴνου ὅρον τοὺς ἐπιτιμωμένους, εἰ δυνατόν, πάντοτε ἐκτὸς σαββάτου καὶ κυριακῆς καὶ ἑορτῆς, ἀσυγχωρήτως δὲ τέως δευτέραν καὶ τετραδοπαρασκευήν, τουτέστιν μίαν λίτραν πίνειν τὴν ἡμέραν εἰ δέ τις δύναται μηδὲ τὸ σύνολον τὰς τρεῖς ταύτας ἡμέρας πίνειν οἶνον, μέγαν μισθὸν ἔχει. Ὅμως ἡ ἑκάστου φύσις ἢ ἡ γνώμη ἢ τὸ ἦθος παρὰ τοῦ αὐτὸν ἀναδεξαμένου διαγνωσθήσεται, καὶ πλείω τοῦ ὅρου μὴ πίνειν. τὰς δὲ διστεσσαρακοστὰς τοῦ ἁγίου Φιλίππου καὶ τῶν ἁγίων ἀποστόλων κρέατος μὴ μετέχειν τοὺς κοσμικοὺς ὁρίζομεν· τοὺς δὲ μοναχοὺς τυρὸν καὶ ὠόν, πλὴν τοῦ Προδρόμου τὸ ἡλιοτρόπιον, ἐὰν θέλωσι καὶ τὰ ἄγια τῶν ἁγίων καὶ ταῦτα ἐάν τινες αἰτήσωνται. Τὴν δὲ μεγάλην μ', εἰ δυνατόν, τοὺς κοσμικοὺς μὴ μετέχειν ὀψαρίου, πλὴν σαββάτου καὶ κυριακῆς, τοὺς δὲ μοναχοὺς ἐλαίου. Ἐὰν δὲ οὐ προαιροῦνται, κἂν τὴν τρίτην καὶ πέμπτην καταλύειν ἐκείνους μὲν ὀψάριον, τούτους δὲ ἔλαιον. οὐκ οἶδα ἂν κατάκεινται (εἰ δυνατὸν μήτε οἶνον πίνειν) πλὴν σαββάτου καὶ κυριακῆς. Εἰ δὲ ἀνάγκη ἐπίκειται ὀλιγοψυχίας, ἢ φιληδονίας, ἢ πολλῶν εὐλόγων αἰτιῶν, καὶ οὐ προαιροῦνται δευτέραν καὶ τετράδα καὶ παρασκευὴν μηδὲ ὀσμᾶσθαι οἴνου τοὺς μετανοεῖν προαιρουμένους ἅπαντας καὶ μάλιστα τὴν πρώτην ἑβδομάδα ὅλην μὴ τὸ σύνολον πίνειν, τὴν ἐσχάτην ἤγουν τῇ μεγάλῃ ε' καὶ μόνον ἕως ὀλίγου τινός. Καὶ οὗτος μὲν ὁ πρῶτος παρ' ἐμοὶ ὅρος συμπεριέλαβε καὶ τῶν ἄλλων τὰς διαφορὰς τοῦ χρόνου παντός.

Ὅρος β' περὶ βρώσεως καὶ πόσεως.

Ὁ δὲ β' ὅρος οὕτως· ἐὰν οὐ δύνανται οἱ ἐπιτιμώμενοι ἐν τούτῳ τῷ ὁρῳ, μᾶλλον δὲ οὐ προαιροῦνται, τὰς μὲν τετραδοπαρασκευὰς τηρειτωσαν ἀγνὰς παντάπασι, τουτέστιν οἱ μὲν κοσμικοὶ ἀπὸ κρέατος καὶ τυροῦ καὶ ὀψαρίου, πλὴν ἐλαίου μόνου, οἱ δὲ μοναχοὶ εἰ οὐκ ἀσθενοῦσιν, μηδὲ ἐλαιον· τὰς δὲ ἑτέρας τέσσαρας ἡμέρας τῆς ἑβδομάδος εἶναι ἀκωλύτους κατα πάντα ἐν πᾶσιν, τουτέστιν οἱ μὲν κοσμικοι εἰς πάντα καὶ εἰς κρέας, οἱ δε μοναχοὶ καὶ ἕως τυροῦ καὶ ὠοῦ καὶ γάλακτος.

Ὁ δε τρίτος ὅρος ἐξ ἀπορίας οὑτός εστιν. ἐὰν δὲ οὐδε οὕτως ἔπωνται ἡ διὰ φιληδονίαν, ἢ διὰ κενοδοξίαν, ἢ κατὰ ἀσθένειαν, ἵνα ταύτας μέν, ὡς εἴρηται, τὰς γ' ἡμέρας φυλάττωσι τῆς ἑβδομάδος ἐν τῷ τῆς ἐπιτιμήσεως χρόνῳ ὡς ὁλοάγνας· ἔλαιον δὲ ἵνα ἐσθιωσιν οἱ μοναχοὶ, οἱ δὲ κοσμικοὶ ὀψάριον. Ταύταις δὲ ταῖς λίαν συμπαθητικαῖς οἰκονομιαις οἶδα οτι μέλλω κατακρίνεσθαι ἐπὶ τοῦ κοινοῦ κριτοῦ καὶ Θεοῦ· ἀλλ' ὅμως κρεῖττόν μοι οὕτως ἐν τοῖς τοιούτοις κρίνεσθαι, ἢ ὡς ἀσυμπαθὴς ἐπαινεθῆναι.

Περὶ εὐχῆς.

Εὐχὰς δὲ ἵνα ποιῶσι διὰ τοῦ νυχθημέρου τρίς, πρωὶ μίαν καὶ ὁτε ἐσθίειν μέλλουσιν καὶ ἐν τῇ ὥρᾳ τοῦ δείπνου, ὅτε κοιμηθῆναι ὀφειλουσι. Κατὰ δὲ ἑκάστην εὐχὴν ἵνα λέγωσιν οἱ εἰδοτες μὲν τον ν', τὸ ἅγιος ὁ Θεὸς τρίτον, τὸ πάτερ ἡμῶν μία, τὸ Κύριε ἐλέησον ρ', το ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ ν', τὸ Κύριε ἥμαρτον, συγχώρησον μοι ν'. Οἱ δὲ οὐτως μὴ προαιρούμενοι ἢ μὴ δυνάμενοι, τὸ ἥμισυ πάντων· οἱ δὲ μηδὲ ουτως, κἂν τὸ τρίτον τούτων. Εἰσὶ γάρ τινες ἢ ἀπρόθυμοι, ἢ ἀσθενεῖς, ἢ γέροντες, ἢ ὑπο δουλίας, ἢ ὑπὸ ἄκρας πτωχείας συνωθούμενοι, καὶ διὰ τοῦτο ὀφείλει ὁ ἀναδεχόμενος αὐτὸς πάντα ταῦτα ἐρευνᾶν, καὶ τὸ ἦθος, καὶ τὴν ἀναστροφήν, καὶ τὸ πρόθυμον, καὶ τὸ οὐχ οὑτως, καὶ τὸ ἄσοφον, καὶ τὸ ἄνετον, καὶ τὸ ἐπίσπονδον, καὶ τὸ πτωχόν, καὶ τὸ πλούσιον, καὶ τοῦ καθεζομένου, καὶ τοῦ ἐλαυνομένου πρὸς αὐτὸ διδόναι εὐχὰς καὶ τὰ ἄλλα. Ἐνδέχεται γὰρ εἷς τινας καὶ δύο μόνας εὐχὰς τὸν νυχθήμερον διδόναι, καὶ ἔν τισι καὶ μίαν. ἐνδέχεται γάρ, ἵνα ὁ ὀλιγοαμάρτητος καὶ πρόθυμος σφοδρότερον ἐπιτιμηθῇ, ὅπως μὴ ἄφεσιν ἁμαρτιῶν μόνον, ἀλλὰ καὶ μισθὸν λάβῃ παρὰ τοῦ τὰς προθέσεις ἀποδεχομένου, καὶ μὴ κατὰ μίαν, ἀλλὰ κατὰ πρόθεσιν κρίνοντος, καὶ κριθῇ παρὰ τοῦ σὺν Θεῷ κριτοῦ αὐτοῦ, ὡς ἡ φύσις καὶ ἡ πρόθεσις αὐτοῦ ἔχει· καὶ πάλιν ἐνδέχεται ἵνα ὁ πολυαμάρτητος καὶ ῥάθυμος, ἢ καὶ ἀσθενὴς καὶ ἀπρόθετος καὶ ὀλιγώτερον πολὺ κατὰ πάντα τοῦ ὀλιγοαμαρτήτου

καὶ προθύμου καὶ ἐνρόβου ἐν πᾶσιν καὶ κατὰ πάντα ἵνα καὶ οὑτωςδήποτε δεθῇ καὶ ἀπολεσθῇ· οἱ δὲ βλέποντες εἰς (217) πλῆθος ἁμαρτημάτων, ἤγουν εἰς τὸν πολλὰ ἐν πολλοῖς περιπεσόντα καὶ χρονίσαντα, ἢ διὰ φύσιν ἢ χωρικείαν καὶ διαφόρους τρόπους, καὶ πάλιν εἰς ὄγκον ἁμαρτημάτων, τουτέστιν τὸν εἰς μεγάλα καὶ δεινὰ περιπεσόντα κακά, εἴτε εἰς φόνους καὶ εἰς ⟨τὰ⟩ παρὰ φύσιν, καὶ οὕτως καὶ πρὸς τοῦτο διδόασι τὰς ἐπιτιμήσεις, οἱ τοιοῦτοι πρῶτον μὲν τὸν Θεὸν ὡς δεῖ οὐ γινώσκουσι, ος θέλει πάντας σωθῆναι, καὶ δεύτερον δὲ καὶ τὰς ἰδίας τελείως δι' αὐτῶν ἀπόλλυσι ψυχάς· ὁ γὰρ ψυχὴν ἐπὶ Θεοῦ ἐγγυῆσαι θέλων, αὐτὴν ἐκείνην τὴν συμπαθῆ καὶ φιλάνθρωπον ὀφείλει ἔχειν καρδίαν τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος ἀγαθοῦ Θεοῦ ἡμῶν. Πρὸ πάντων δὲ τούτων ὀφείλει ἔχειν ὁ ἐξομολογούμενον δεχόμενός τινα ἐν ἐκκλησίᾳ ἢ ἄλλῳ τινὶ κρυπτῷ τόπῳ πρασηνεῖ ὄμματι, χαροποιᾷ καρδίᾳ, ὡς ἐπ' ἀρίστῳ λαμπρῷ καλῶν αὐτόν, νουθετῶν καὶ καταφιλῶν αὐτὸν πάντων τῶν ἁμαρτιῶν, τῶν τε μεγάλων καὶ τῶν μικρῶν, ἑαυτὸν ἐνώπιον ἐκείνου ὑπεύθυνον λέγειν. Καὶ εἶθ' οὕτως τὸν ξθ΄ ψαλμὸν λέγειν μετὰ τοῦ τρισαγίου, καὶ συνεύχεσθαι αὐτῷ μικρόν, ἀποσκεπάζειν δὲ αὐτοῦ, ἐὰν ἀνήρ ἐστιν, τὴν κεφαλήν, καὶ τὸ μὴ σύνολον καθίσαι ἕως πληρώσει πάντα ὁ ἐξομολογούμενος, ἀνακρινόμενος δηλονότι λεπτομερῶς περὶ πάντων, καὶ πόσων, καί ποτε ἄρα ἐγένοντο. Καὶ ὅταν πληρώσῃ οὗτος μὲν λέγων, ἐκεῖνος δὲ ἀκούων καὶ ἐρευνῶν καὶ ἀνακρίνων τὰ ἀκουόμενα, καὶ ὅταν ἀποπληρώσας ἐκεῖνος μὲν εἴπῃ (μὴ ἔχειν ἄλλο τι καὶ οὗτος) μὴ ἀφίων ὃ οὐκ ἂν ἔκρινεν ἢ οὐκ ἠρώτησε, καὶ εἰς ἃ αὐτὸς ἢ διὰ λήθην ἢ αἰσχύνην οὐκ εἶπε, τότε ῥίπτειν αὐτὸν ἐπὶ γῆν καὶ κεῖσθαι καὶ μὴ ἀνίστασθαι καὶ ἐπεύχεσθαι αὐτῷ τοιάδε.

Εὐχή.

Ὁ Θεὸς ὁ δι' ἡμᾶς ἐνανθρωπήσας καὶ παντὸς τοῦ κόσμου τὰς ἁμαρτίας βαστάζων, αὐτὸς τῇ αὐτοῦ παναγάθῳ χρηστότητι καὶ ταῦτα πάντα, ἀδελφέ, ἀναδέξεται, ὅσα νῦν ἐνώπιον αὐτοῦ τῇ ἐμῇ ἐξεῖπες ἀναξιότητι, συγχωρῶν σοι πάντα καὶ ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι, ὁ θέλων καὶ μένων (καὶ νέμων) ἁπάντων τὴν σωτηρίαν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Καὶ τότε ἀνιστᾶν αὐτὸν καὶ καταφιλεῖν ὡς οἰκείαν ψυχήν, εἰ δυνατὸν καὶ τὴν χεῖρα αὐτοῦ ἐπιτιθέναι εἰς τὸν τράχηλον αὐτοῦ λέγων, ὅτι ἔστωσαν πάντα ταῦτα ἐπ' ἐμέ, ἀδελφέ, καὶ μάλιστα ἐὰν βλέπῃ αὐτὸν ὑπὸ τῆς ἀφορήτου λύπης βαπτιζόμενον· καὶ μετὰ ταῦτα ἀμφοτέρους καθέζεσθαι, καὶ ἐπερωτᾶν αὐτὸν φαιδρῷ τῷ προσώπῳ, τὸ πόσον ἄρα ἀπὸ τῶν τριῶν βούλοιτο λαβεῖν ἐπιτίμιον. ἐν πρώτοις δὲ εὔελπιν αὐτὸν ποιῶν κατὰ πάντα. Καὶ τοῦτο ἐπιτιμᾶν αὐτόν, ὅτι ἐντολὴν ἔχεις, ἀδελφέ, ἀπὸ Κυρίου Θεοῦ

ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα ὅ τι ἂν ἀπὸ τοῦ νῦν συμβῇ σοι ποιῆσαι πονηρόν, ἵνα πάντα μοι ἐν χαρᾷ ψυχῆς σου εὐπροθύμως ἐξομολογήσῃ ὅπου ἂν εἰμι. Καὶ ταῦτα μὲν περὶ τούτων. Τὰς δὲ πάσας σαββατοκυριακὰς καὶ τὸ δωδεκαήμερον, ὁμοίως καὶ τὰς ἀπὸ τοῦ Πάσχα ἡμέρας ἕως τῶν ἁγίων πάντων μὴ γονυκλιτεῖν ἐν ταῖς εὐχαῖς, ἀλλὰ μόνον προσκυνήσεις ποιεῖν κατα πάντα.

Καὶ οὗτοι μὲν ⟨οἱ⟩ ὅροι τῶν παρ' ἐμοῦ δοθέντων καὶ διδομένων σμικροτάτων καὶ λίαν εὐσυγγνώστων ἐπιτιμίων. ταύτης δὲ τῆς συγκρίσεως τὴν βοήθειαν δέδωκέ μοι ὁ μέγας Βασίλειος εἰπών, ὅτι πάντα ταῦτα γράφομεν ὡστε τους καρποὺς δοκιμάζεσθαι τῆς μετανοίας· οὐ γὰρ τῷ χρόνῳ πάντα κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τὸν τροπον τῆς μετανοίας προσέχομεν· Ἐξουσίαν δὲ ἔχει ὁ ἐμπιστευθεὶς παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας λύειν τε καὶ δεσμεῖν, εἰ φιλανθρωπότερον γένοιτο ἄν, τῷ ὑπερβάλλοντι ὅρῳ τοῦ ἡμαρτηκότος, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων, οὐκ ἔστι καταγνώσεως ἄξιος, τῆς ἐν ταῖς γραφαῖς ἱστορίας γνωριζούσης ἡμῖν τοὺς μετὰ μειζονος πόνου ἐξομολογουμένους ταχέως τὴν τοῦ Θεοῦ βοήθειαν καταλαμβάνειν. Ἐὰν δὲ δυσαποσπάστως ἔχωσι τῶν ἰδίων ἠθῶν καὶ ταῖς ἰδίαις δουλεύειν ἐπιθυμίαις θέλωσιν, ἢ τῷ Θεῷ καὶ τὴν κατὰ τὸ εὐαγγέλιον ζωὴν μὴ καταδέχωνται, οὐδὲν ἡμῖν κοινὸν πρὸς αὐτούς· ἡμεῖς γὰρ ἐν λαῷ ἀπειθεῖ καὶ ἀντιλέγοντι δεδιδάγμεθα ἀκούειν, ὅτι σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν. μὴ καταδεξώμεθα τοίνυν ἁμαρτίαις ἀλλοτρίαις συναπόλλυσθαι, ἀλλὰ φοβηθέντες τὸ βαρὺ κρῖμα καὶ τὴν φοβερὰν ἡμέραν πρὸ ὀφθαλμῶν λαβόντες, τοῖς τοιούτοις συναπόλλυσθαι μὴ βουληθῶμεν. ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Приложеніе № 3.

Κανόνες τῶν ἁγίων πατέρων.

Ἄρξομαι τῇ τοῦ ἀγαθοῦ Θεοῦ ὁδηγίᾳ καὶ συνεργείᾳ τὰς ποσότητας καὶ ποιότητας καὶ διαφορὰς ἤδη τῶν ἁμαρτημάτων, τῶν κατὰ φύσιν καὶ παρὰ φύσιν, λεπτομερῶς, ὡς οἶμαι, κατὰ τὴν τῶν ἑτέρων ἐξαγγελλιῶν ἅπαντα διαγράφειν ἐν ἐπιγνώσει (ἐπίγνωσιν)· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πῶς ὀφείλει ἕκαστος τῶν ταῦτα ἀναδεχομένων ἐρευνᾶν καὶ ἐξετάζειν, καὶ οπως τὰς (л. 218) περὶ τούτων διδόναι ἐπιτιμήσεις, καὶ ὅπως πάλιν οἱ ἐπιτιμώμενοι ὀφείλουσι τὰς ἐξομολογήσεις ποιεῖσθαι, καὶ τὰς ἐπιτιμήσεις παρὰ τῶν αὐτοὺς ἀναδεχομένων ἀποδέχεσθαι.

Ἐν πρώτοις δὲ τέως τὰ εἴδη καὶ τὰς ποσότητας τῶν ἁμαρτημάτων ἀναγράψομεν, ποῖα τέ εἰσι καὶ πόσα, εἶθ' οὕτως τὰς διαφορὰς τῶν ἐλαττόνων καὶ μέσων καὶ μεγάλων τοῖς πόθῳ δεχομένοις διεξέλθωμεν. Εἰσὶ οὖν σαρκικὰ ἁμαρτήματα ζ' ἢ καὶ ἡ κατὰ τοὺς θεοφόρους πατέρας περὶ τῶν τῆς κακίας πνευμάτων ὅρους· οἱ μὲν γὰρ ἑπτά, οἱ δὲ ὀκτὼ ἐξελάβοντο, ἅ ἐστι ταῦτα. μαλακία, πορνεία, μοιχεία, ἀρσενοκοιτία, παιδοφθορία, κτηνοβατία καὶ ἡ πολύπλοκος καὶ πολυώνυμος καὶ δυσδιάκριτος καὶ συγχυτικὴ αἱμομιξία, ἧς τινος ὀλίγοις λίαν ὑπάρχει ἡ τελεία διάγνωσις. ἔστι δὲ καὶ ὁ τῶν διὰ χειρῶν ἑκούσιος ἢ ἀκούσιος φόνος. Ἐν πρώτοις δὲ παρ' ἡμῶν τέθειται ἡ δεινὴ καὶ πολυκράτητος ἵν' εἴπω καὶ παντοκράτητος ἁμαρτία, λέγω δὴ ἡ μαλακία. Ἐπειδὴ καὶ δύο τὰς διαφορὰς κέκτηται διὰ τὸ ἐκ πρώτης ἡλικίας τοῖς ἀνθρώποις ἐπισυμβαίνειν, καὶ τὴν τῶν πολλῶν δι' αὐτῆς φθείρεσθαι παρθενίαν, καὶ διὰ τὸ καὶ αὐτῶν τῶν δοκούντων κατακρατεῖν· τὸ δὲ ἐλεεινότερον καὶ παρὰ μικρὸν τοῖς πολλοῖς ἄγνωστον, διὰ τὸ καὶ ἕως γήρως, ἢ καὶ ἕως αὐτοῦ τοῦ θανάτου, οὐ τοῖς ἐν κόσμῳ μόνον, ἀλλὰ καὶ τοῖς ἔξω τούτου πολλάκις ἐπισυμβαίνειν.

Ὅτι δὲ εἶπον δύο διαφοράς, ἰδοὺ καὶ διακρινῶ. τὴν γὰρ μίαν ἤγουν διὰ μιᾶς ἐπισυμβαίνουσαν χειρὸς ἅπαντες οἴδαμεν, καὶ μάλιστα οἱ ἀπὸ τῆς θείας καὶ ἀνθρωπίνης γνώσεως, ἥ καὶ ἐκ τῆς πείρας αὐτῆς, ἥ καὶ ἀπὸ τῶν ἐξαγγελλιῶν μεμαθηκότες· τὴν δὲ δευτέραν ὀλίγοι λίαν ἐπίστανται· ἔστι γὰρ αὕτη, ὡς παρὰ τῶν ταῦτα ἐργατῶν μαθεῖν ἠδυνήθημεν· αἰσχυνόμενοι γὰρ τὴν ταύτης ἐργασίαν τοὺς αὐτῇ ὑπουργοῦντας δούλους ἢ ἐλευθέρους προσκαλούμενοι ἐν ταῖς τούτων χερσὶ διὰ τοῦ παρ' ἐκείνων μολυσμοῦ τὰς ἐκρύσεις ποιοῦνται, περὶ ὧν ὡς οἶμαι ἡ θεία κλῖμαξ ὀδυνηρῶς ἀποδύρεται λέγουσα, ὅτι ἐλεεινὸς ὁ πίπτων, ἐλεεινότερος δὲ ὁ τοῦτο καὶ ἄλλα προξενῶν· τῶν γὰρ δύο πτωμάτων καὶ τῆς ἑτέρου ἡδονῆς τὸ βάρος αὐτὸ ἐπισύρεται· καὶ ὁ μὲν διδάξας εἰς συναίσθησιν ἐλθὼν ἴσως ἐπαύσατο, διὰ δὲ τῆς τοῦ μαθητοῦ ἐργασίας ἀνίσχυρος καὶ ἡ τούτου μετάνοια γίνεται· ταῦτα δὲ οὐ περὶ ἑτέρας, ἀλλὰ περὶ τῆς μαλακίας, ὡς ἔφην, καὶ τῆς μαυλισίας λέγεσθαι πέφυκε· συμπεριέλαβε γὰρ ἡ ἀκάθαρτος μαλακία τὴν πονηρὰν αὐτῆς ἀδελφὴν μαυλισίαν, εἰ καὶ ἀνώνυμος τέθειται παρ' ἡμῶν ἐν ταῖς ζ' τῆς κακίας μεταβολαῖς.

β'. Ἡ δὲ πορνεία τρεῖς ἔχει τὰς διαφοράς, τουτέστιν τὸ εἰς χήραν, ἢ εἰς δούλην, ἢ εἰς πόρνην περιπεσεῖν· πόρνην δὲ ἐκείνην καλοῦμεν, οὐ τὴν περιπεσοῦσαν ἅπαξ, εἴτε καὶ εἰς ἕνα καὶ δύο καὶ τρεῖς πολλάκις περιπεσοῦσαν, ἢ τὴν φθαρεῖσαν μὴ θέλουσαν, ἢ ἐκ συμβάσεως, ἢ ὑπὸ πλάνου πλανηθεῖσαν, ἀλλὰ τὴν ἐξεπίτηδες καὶ ἐξ ἔθους εἰς πολλοὺς πλανηθεῖσαν καὶ περιπεσοῦσαν.

γ'. Μοιχείαν δὲ ἐκείνην λέγομεν, τὸν εἰς ὑπογύναιον πίπτοντα ἄνδρα ἢ εἰς ὕπανδρον πίπτοντα γυναῖκα· ὁμοίως καὶ τὴν μεγαλόσχημον μονάστριαν καὶ τὸν μοναχόν, ὅπου ἐὰν πέσωσι ἀμφότεροι, μοιχείαν εἶναι καὶ μοιχείας λαμβάνειν ἐπιτίμιον ὁ ιγ' ἀπόστολος διακελεύεται καὶ μέγας Βασίλειος, μᾶλλον δὲ ὁ ἐν πᾶσι καὶ ἐν αὐτῷ λαλήσας καὶ ἕως νῦν λαλῶν Θεος.

δ'. Ἡ δὲ ἀρσενοκοιτία τρεῖς ἔχει τὰς διαφοράς ἄλλο γὰρ το παθεῖν παρ' ἑτέρου, τὸ δὲ κουφότερον, εἴτε δι' ἀνηλικιότητα, ἢ διὰ πτωχειαν, ἢ διὰ βίαν, ἢ καὶ πολλὰς τὰς διαφοράς· ἕτερον τὸ ποιῆσαι, ὃ καὶ βαρύτερον τοῦ παθεῖν· τὸ δὲ παθεῖν παρ' ἑτέρου καὶ ποιῆσαι εἰς ἕτερον πάσης ἂν ειη ἀπολογίας ἀλλότριον.

ε'. Τῆς δὲ παιδοφθορίας τὸ ἔγκλημα ἐκεῖνο ἔστι καὶ λέγεται, τὸ κόρην παρθένον νεᾶνιν πρὸ τῆς ἥβης ἤγουν πρὸ τῶν ις' διαρθεῖραι χρόνων

ς'. Τὸ δὲ κτηνοβατίας καὶ πτηνοβατίας εἶδος μίαν καὶ μόνην ἔχει τὴν διαφοράν· ἐμοὶ δοκεῖ καὶ εἰς δύο μεμέρισται. (л. 219) ἐδεξάμην γὰρ ἐγὼ ὁ ἀνάξιος ἐξαγορεύσεις καὶ ἐπὶ ἀρρενικῶν κτηνῶν τινας παραπεσόντας, καὶ ἕως (далѣе выскоблено нѣсколько словъ, а у Морина читается: ἕως αὐτῶν τῶν μοναχῶν ἢ καὶ ἡγουμένων (стр. 106). въ румянц. кормч. № 230: **даже и до самѣхъ властель** л. 94).

Ζ'. Τὸ δε τῆς αἱμομιξίας, ὡς εἴρηται, πολύτροπον καὶ μυριοπρόσωπον εἶδος οὔτε ἐννοηθῆναι παρὰ τοῖς πολλοῖς ἡ κἂν ἐγγράφως, ὅσον καὶ οἷον ὑπάρχει, δύναται συναριθμηθῆναι· ἕτερον γὰρ τὸ εἰς δύο ἀδελφάς, καὶ ἕτερον τὸ εἰς ἀδελφὴν ἰδίαν ἐκ πατρὸς ἢ ἐκ μητρός, καὶ ἕτερον τὸ καὶ τοῖς ἀμφοτέροις πεσεῖν. τὸ γὰρ εἰς μητρυιὰν ὅμοιον τῷ εἰς ἀδελφὴν ἐκ πατρὸς συμμιχθῆναί ἐστι καὶ οὐκ εἰς ἀμφοτέρωθεν ἀδελφήν. ἄλλο το εἰς β', ἄλλο τὸ εἰς νύμφην ἀδελφοῦ καὶ ἄλλο τὸ εἰς ἐξαδέλφου, καὶ ἄλλο τὸ εἰς υἱοῦ, καὶ ἄλλο τὸ εἰς προγόνην, καὶ ἄλλο τὸ εἰς ἰδίαν θυγατέρα. Τὸ δὲ ἐλεεινότερον καὶ εἰς ἰδίαν μητέρα, ὅπερ ὁ Κύριος μὴ συγχωρήσειέ τινα παθεῖν· ἔγνωμεν γὰρ ἡμεῖς οἱ ἄθλιοι καὶ ἠκούσαμεν, μᾶλλον δὲ ἀνεδεξάμεθα καὶ τοιοῦτον· ὁμοίως καὶ ἀρσενοκοιτίαν ἔγνωμεν καὶ ἀνεδεξάμεθα καὶ αἱμομιξίαν δεινήν· τρεῖς ἀδελφοὺς ὁμοπατρίους καὶ ὁμομητρίους ἀλλήλους πεπορνευκότας, ὁ δὲ μέσος μοι ταῦτα ἐξωμολογήσατο, ὡς παρὰ τοῦ πρώτου παθὼν καὶ τῷ τρίτῳ ποιήσας, καὶ ὡς εἶπον ἄληστόν ἐστι τὸ πάθος τῆς αἱμομιξίας. Ἔστι δὲ γυναικεία ἀρσενοκοιτία, εἰς ἣν οἱ ἄνδρες ἐλεεινῶς σκοτούμενοι (опять нѣсколько словъ выскоблено, а у Морина на стр. 107 читается: τὸν καθαρὸν καταλιπόντες ἄρτον, τὸν σκυβαλώδη τυφλώττοντες ἐσθίουσιν; любопытно, что и въ румянц. кормч. № 230 слова: «чистый хлѣбъ», которыя должны бы были соотвѣтствовать греческимъ: «τὸν καθαρὸν ἄρτον» уничтожены, такъ что все это мѣсто, съ образовавшимся въ

немъ пробѣломъ, читается въ слѣдующемъ видѣ: **въ ньже моужи ѻканьнѣ ѻмрачаѥми ... ѻставлеше ѻумѣтьно и ѻслѣпѣвающе дѣють**), ἤγουν τὴν γυναικείαν ἀφέντες φύσιν, ἐπὶ τὸν ἀφεδρῶνα τὰς ἀθλίας καὶ μὴ βουλομένας πορνεύουσι γυναῖκας· πολλάκις δὲ καὶ τὰς ἰδίας οἱ πολλοὶ πλείω τὸ τῶν ἀνδρομανῶν ἀρρενοκοιτῶν ὑποστήσονται· καὶ ἔνθεν ἐν τῇ ἐπιτιμήσει καὶ ἐκεῖθεν ἀνηλεῶς τὴν κόλασιν ἕξουσιν ὑπὲρ πάντας.

η'. Τὸ δὲ τοῦ ἑκουσίου φόνου δοκεῖ μὲν πάντων ἀσυγγνωστότερον εἶναι, ὡς καί ἐστιν, ὅμως οὐδὲ τοῦτο ἀσυγχώρητον. Τὸ δὲ τοῦ ἀκουσίου συγγνώμης πάσης ἄξιον. ἔστι δὲ καὶ ἡ πνευματικὴ αἱμομιξία εἰς δύο διῃρημένη· εἰς τὴν ἣν ἐδέξατο θυγατέρα καὶ εἰς αὐτὴν ἐκείνην τὴν ἰδίαν σύντεκνον. ὃ πολὺ τοῦ σαρκικοῦ ἐλεεινότερον, καὶ μάλιστα οὐχ ἅπαξ, ἀλλὰ καὶ ἐν ἕξει γεγένηται. Καὶ ἡ μὲν τῆς συντέκνου ἁμαρτία ἔτη ὀκτώ, ἡ δὲ τῆς πνευματικῆς θυγατρὸς ἕως τῶν λ' χρόνων φασί τινες ἔχειν τὴν ἐπιτίμησιν, ὡς καὶ εἰς ἰδίαν μητέρα ὁμοίως. εἰ δὲ καταχρηστικῶς τὰ τοιαῦτα γεγόνασι μύση καὶ οὐχ ἅπαξ, ἢ δὶς, ἢ τρὶς, καὶ ἐξεκόπησαν, καὶ ἕως ἐξόδου ⟨ἢ⟩ θανάτου τέθεινται μὴ κοινωνεῖν. Τὸ δὲ τοῦ φόνου τοῦ ἑκουσίου ἔτη κ', τὸ δὲ τοῦ ἀκουσίου ι'. τὸ δὲ τῆς αἱμομιξίας ὡς πολύτροπον καὶ πολύπειρον, ἔτη ιε'· τὸ δὲ τῆς ἀδελφῆς ἐκ πατρὸς ἢ μητρὸς ἔτη ιβ', ὡς καὶ τῆς μητρυιᾶς· τῆς δὲ ἐκ πατρὸς καὶ μητρὸς ἔτη ιη', ὡς καὶ ἐπὶ τῆς πρεσβυτερίσσης ἢ τοῦ ἐμβάθμου διακόνου· τὸ γὰρ τῆς ἀναγνώστου ις' ἔτη ὥρισται, ὡς ἀπροκόπου μείναντος τοῦ ἀναγνώστου. Τὸ δὲ εἰς υἱοῦ νύμφην, ὁμοίως τῆς μητρυιᾶς, ἔτη ιβ'· τὸ δὲ εἰς ἀδελφὰς ι'· τὸ δὲ εἰς τὰ λοιπὰ τῆς πορνείας ἐγκλήματα περιέχει. Τὸ δὲ κτηνοβατίας ἢ πτηνοβατίας ιε' ἔτη ἔχει τὴν ἐπιτίμησιν, οἷον ἂν λάχῃ τὸ ἀπηγορευμένον κτῆνος. Τὸ δὲ εἰς ἀρρενικόν, οὐ κεκανόνισταί που περὶ αὐτοῦ, ὡς οὐδὲ τῶν εἰς ἰδιότητα περιπιπτόντων ἀνδρῶν ἢ θηλειῶν. Τὸ δὲ τῆς ἀρρενοκοιτίας ὁμοίως τοῖς κτηνοβάτοις ὥρισται ιε' ἔτη, ὡς καὶ τοῖς ἐπὶ μοιχείᾳ ἁλοῦσι· τὸ δὲ τῆς γυναικείας ἀρρενομανίας ἕως τῶν λ' χρόνων, ὡς καὶ τῆς συντέκνου καὶ τῆς ἰδίας μητρὸς τὴν ἐπιτίμησιν κέκτηται· τὸ δὲ παρὰ ἄλλου παθεῖν καὶ ποιῆσαι εἰς ἕτερον καὶ πλείω τούτων· τὰ γὰρ ἕτερα δύο καὶ ἶσο (ἶσα) τούτων· τὸ δὲ τῆς παιδοφθορίας ἶσο (ἶσα) τῷ εἰς μονοπρόσωπον πεσεῖν ἀδελφὴν ἐκ πατρὸς ἢ μητρὸς ὥρισται, τουτέστιν εἰς ἔτη ιβ', ὡς καὶ τῆς μητρυιᾶς· τὸ δὲ τῆς μοιχείας ἤγουν τῆς ὑπάνδρου ἔτη ιε'· ὁμοίως μεγαλοσχήμῳ μοναχῷ καὶ μοναστρίᾳ· τῶν γὰρ μικροσχήμων ἀνδρῶν καὶ γυναικῶν πορνεία λογίζεται, τουτέστιν ἐν ζ' ἔτεσιν· ἡ δὲ πορνεία, ἤγουν τὸ τῆς χήρας καὶ δούλης καὶ πόρνης ἐν ζ' ἔτεσι τὴν ἐπιτίμησιν περιέχει.

Приложение № 4.

(На обор. 77, по другой нумерац. 85 л.). Ѡ҃ана мниѵа чада (по) послоѵшанию. оученію сто҃го василиа: ѻ исповѣданиа различиа. и заповѣди исповѣдающихъсѧ. въ таинѣ грѣхы. и тѣхъ прик(л. 78)мающимъ. истиньнаа безъблазньнаа къ го҃ѵ и ѿ ба҃. и б҃ъ расмотреніа помъисли оѵбогый ·:·

Ѩко подобаѥть исповѣдающемоѵсѧ таинаа прегрѣшенаа. чл҃коѵ къ чл҃коѵ. нъ ѩко самомоѵ томоѵ бо҃ѵ. ѩко подобаѥть исповѣданиа прикмлющемоѵ. не ѩко иного нъ ѩко свои въспріимати грѣхы. и того томоѵ предъложити. ѩко смѣреною и добрѣподателною исповѣдающагосѧ йскоѵшеніе прикмлющемоѵ йсповѣдающагосѧ. маѳ҃ва рекъше працати скоро грѣхъ. и лъгка ѯапрещенаа. рекъше проста обычаи҃ ѥсть створити. ѩко подобаѥть прикмлющемоѵ исповѣданіе. не на таготоѵ ни на множьство вѯирати грѣховъ. ни на ѥстьствьнъıа. ни на неѥстьствьнъıа. ѩкови же боѵдоѵть грѣси. нъ на єдино въѯирати мардіе б҃ѵ. и всѧкоѵ тихость и благ҃ѵ имѣти тъгда къ исповѣдаюшемоѵсѧ. оѵвѣреноѵ же бъıти исповѣдающемоѵсѧ ѩко кльмаже оумъıвалница скверньı очищаѥть. мъıющюже прикмлю (обор.) исповѣданіе исповѣдающагосѧ и носити тѧжесть.

Како исповѣдатисѧ подобаѥть.

Поıти подобаѥть исповѣдающагосѧ иже прикмлеть ѥго. предъ цр҃квьнъıмь олтаремь и поставить и тоѵ. аще ли нѣ҃ цр҃кве. на чтѣ нѣкде й на ѳлоученѣ мѣстѣ и безъмолъвнѣ и помолити снимь поюще .и҃. и ѯд҃ пм҃ъ. по сконьчании маѳ҃ъı. и ѿкръıвъ ѥго главоѵ. аще имать бъıти и вѣнець носа. аще ѥсть моѵжь. аще ли ѥсть жена то ни. аще ли черноризьць. вьрхоѵ главъı своеѩ въѯложить коѵкоѵлии. и пасти ѥмоѵ предъ олтаремь и творить лежати. ѥмоѵже лежащю долѣ гл҃ать слово се. исповѣдаю ти сѧ г҃и бе҃ нбоѵ и ѯемли. всѧ ѩже въ таинѣ ср҃дца моѥго. и по реченіи слова того. въставити и. и поставить и на странѣ входа олтарьнаго. и томоѵ близь стати на дроѵѯѣи и въпрашати и съ всею тихостию и кротостию. аще възможно и цѣловати и. и роуцѣ того исповѣдаюшагосѧ на свою въю положити. паче аще видить ѥго (л. 79) долоѵ нѣкде ѿ многъıа печали и срамотъı обладаѥма и погроужаѥма. и прашати ѥго тихомь

и кроткомь гла҃мь сице. како ти г҃и брате чадо ли. г҃же сестро. въ пьрвъıихъ како растлисѧ дв҃тво твоѥ. блꙋда ли ради. ли ꙁаконьною женою. ли ꙗꙁѣ ради. или коѥго дѣлѣ ѥже чресъ ѥ҆стьство. ѥгда речеть. ти пакы въпрашаѥть и. сколикомь падалъ ѥсть женами. преже поꙗтиꙗ женъı своѥꙗ. ѿколѣ ѻ҆бовдовѣ и съ колицѣми. аще оубо бѣша ѿ нихъ рабынѧ. и колико вдовиць. и колико моужатъıихъ женъ. ѥда меньшице ѥда великъıꙗ скимница и колико·:· Си въ пьрвъıихъ подобаѥть исповѣданиѥ принимающемоу и все. с колицѣми съгрѣшилъ ѥси. число паче всего вꙁискаѥтьсѧ. раꙁличиѥ лиць. соуть бо раꙁличиꙗ. рабынѣ и блоуднице. вдовицѣ моужатицѣ. чьрноризицѣ. и осщ҃енънъıꙗ дьꙗчиꙗ. и поповъıꙗ. ти ѥгда си въпросить ѥго. въпрашаѥть и ѡ моужьска полоу блоужении. имать же моужьскоѥ блоужениѥ разли(на обор.)чиꙗ три. ино ѥже ѿ иного подъꙗти ѥже лжаѥ ѥсть. ино ѥже творити и тѧгъчѣѥ. третиѥ ѥже ѥсть ѥже приꙗти ѿ иного и творити съ инѣмь. си ѻ҆ною двою тѧгъчѣѥ. и ѥгда и въпросить. и речетъ ли въ пьрвѣмь рекъше ѥже приꙗти. или въ вторѣмь ѥже ѥсть и створить. или створше ѥ съ инѣмъ створити. пытаи ѥго колико ѻ҆умоуди в томь. и ѥже ѥсть чресъ ѥстьство и аще оубо ѥдиною ли дваждъı. ли три краты. или многаждъı. или имѣꙗ женоу впаде чресъ ѥстьство или ни или преже л҃ лѣ҃ своѥꙗ въꙁдрасти. ли по сихъ и съ тѣми. или скотинъı дошьлъ боудетъ. къ каковѣи ѻ҆убо скотинѣ причастилсѧ боудеть, ѥдино различиѥ ѥсть. аще всѧ блоудъ створилъ боудеть. ѥже бо всѧ блоудъ створи ѥ. и двѣ имать раꙁличьи. ли своѥю роукою. ли иного роукою бъıваѥмоѥ. ꙗкоже се нынѣ кнѧꙁи творѧть ѻ҆каньнѣ. съ собою инѣхъ гоубѧще. ѿ нихъ навъıкноущемъ таковоѥ скарѣднѥ. ти ѥгда ѻ҆ сихъ въпрошьнъ боудеть исповѣдаꙗйсѧ (л. 80) испъıтати и ѻ҆ многосплетенѣи ѥже съ своимь ѻ҆ужикоѭ. не ѥдино бо ни двѣ ни три, нъ многа и раꙁличьна тоꙗ раꙁньства. ино ѻ҆убо ѥже съ двѣма сестреницема блоудъ створити. и еже ѿ ѻ҆ц҃а а иноѥ же съ м҃трьнею дъщерию. или ѿ ѻ҆бою. ино ѥже ѿ двоѭ сестричьноу. ино ѥже съ снохою. съ сн҃овнею женою. ли съ братьнею женою. дроугоѥ с тещею. ино ѥже с мачехою. и с коѥю ѿ меньшиць ѻ҆ч҃ь. постигають нѣци и до своихъ м҃трии. ино пакы ѥ҆же съ своѥю коумою и дроуго ѥже съ своѥю дъщерию. и ѥже приꙗтъ. всѧ си подобаѥть пытати исповѣдника ·:·

Постигають же дроузии съ своими женами. ꙗкоже с моужьскъıмь полъмь. а дроуꙁии съ чюжими беꙁакониѥ въ моужьскъıи проходъ и въ женьскъı створѧюще. ѻ҆ биинствѣ и ѻ҆ татьбѣ и ѻ҆тѧтии

злата въпросити и. и ѥгда сиꙗ добрѣ испытають ѹ него. и рекоуть ли ѥдиного ѿ нихъ. ли двою ли полъ. ли все. подобаѥть же никыимь и на все обрѣсти тъгда подобаѥть пасти исповѣ(обор.)дающюсѧ предъ стымь олтаремь и лежащю ѥмоу помолитисѧ надъ нимь сице ·:· мо.

Бг҃ простивы нафаномь дв҃да своꙗ исповѣдавшю злаꙗ и петра ѿвьргъшасѧ плака гърко. и блоудницю сльзившю при ногоу ѥго пречтою. и мытарѧ и блоуднаго. рекыи исповѣдаитесѧ дроугъ дроугоу. и аще исповѣдаѥмъ грѣхы наша. вѣрьнъ и правьдьнъ ѥсть бъ. да оставить намъ грѣхы наша. и очистить ны ѿ всѧкого грѣха· нъ самъ спсъ нашъ гь и хсъ простить тѧ ѿ всего ѥлико пред нимь моѥи исповѣдалъ ѥси хоудости. и ѥще в нынѣшнемь вѣцѣ и въ боудоущимь. и не осоужена тѧ предъ соудищемь своимь предъстати сподобить. сыи блгнъ въ вѣкы аминь ·:·

